UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Eutonio Diacono. 107.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

εἰς ἐλπίδα τῆς τόλμης ἐπαρθέντες τῇ ἀδοκήτῳ εὐπραγίᾳ· καὶ εἰς μείζους ἑαυτοὺς ῥίψαντες πράξεις, ἐκινδύνευσαν ἐσχάτως· καὶ περὶ τῆς ἐξ ἀρχῆς κατορθωμάτων· διὸ χρὴ ἀνθρωπινώτερον βουλεύεσθαι· καὶ κατορθοῦντες μὲν εἰς οἶκτον βλέπειν, καὶ τὰς ὀξυῤῥόπους ἐκλογίζεσθαι μεταβολάς, καὶ μὴ πέρα τοῦ μέτρου φρονεῖν τε καὶ φράζειν· διαμαρτάνοντας δὲ παιδεύεσθαι τὴν ἀνθρωπίνην ἀσθένειαν· καὶ μὴ ὡς θεῷ πεπηγέναι τὰ πράγματα ἀθάνατα ἀξιοῦν.

xiſſent,propterea quòd eorum temeritas eum,quem ſperabant,euentum habuiſſet, inopinata felicitate elati, atque in maiores actiones ſeſe proiicientes, de ſuperioribus quoque rebus præclarè geſtis in extremum periculum venerunt. Quapropter nobis faciendum eſt,vt humaniùs conſultemus, atque, cùm quid præclarè atque ex ſententia gerimus, miſericordiam nobis ob oculos proponamus, ſubitáſque mutationes conſideremus,nec præter modum ſentiamus ac loquamur: cùm autem ab officio aberramus, humanam imbecillitatem cõdiſcamus,nec illud poſtulemus vt res noſtræ Dei inſtar immortales fixæ ſint.

Παύλῳ. ρϛ.

Μὴ τὰ μόλις, ὦ βέλτιστε, καὶ μετὰ μυρίων ἱδρώτων, καὶ ἀγώνων θηρώμενα ἐξ ἐπιδρομῆς θηρᾶν νόμιζε· ἀλλ' ἐκ πόνων καὶ προσευχῶν προοιμιασάμενος ἐπὶ τὴν θήραν τῶν νοημάτων, τῆς ἱερᾶς χώρει γραφῆς τῶν τὴν ἡμετέραν σύνεσιν εἰς πλείονα ὀξύτητα ἀκονώντων.

Paulo. 106.

Ne ea,quæ vix, atque cum infinitis ſudoribus ac certaminibus capiuntur, te curſim capturum exiſtima: verùm à laboribus & precibus exorſus, ad aucupandos Scripturæ ſacræ ſenſus,qui animorum noſtrorum ſolertiam ad maiorem celeritatẽ exacuunt, te confer.

Εὐτονίῳ διακόνῳ. ρζ.

Χρὴ τὸν νοῦν οἷα βασιλέα αὐτοκράτορα λογισμοὺς φοβεροὺς καὶ πάντοθεν ὅπλοις πεφραγμένους πρὸς τὰς τῶν αἰσθήσεων καταπέμψαι πύλας προαπαντησομένους, καὶ προλοχιοῦντας, καὶ εἴρξοντας τοὺς πολεμίους· καὶ μὴ πρῶτον συγχωρήσαντας τὴν εἴσοδον, ὕστερον ἀμφήριστον ἀναδέχεσθαι μάχην· ἥτις πολλάκις, καὶ ἑτεροκλινὴς γενήσεται· τοῖς ἀντιστρατευομένοις τὸ τρόπαιον ὀρέγουσα. διὰ γάρ τοι τοῦτο καὶ ὁ σωτήριος λόγος τὸν ἀκολάστως ὁρῶντα, κολάσειν ἠπείλησε. τῶν ἄλλων νομοθετῶν τὴν πρᾶξιν μόνην κολαζόντων, ἵνα μὴ δυσκαταγώνιστος καὶ ἀπρόσμαχος ὁ πόλεμος γένηται, ἀλλὰ ῥᾴδιος καὶ εὐχερής.

Eutonio Diacono. 107.

Mentem oportet,velut reginam ſummũ imperium obtinentem, horrendas atque armis omni ex parte munitas & inſtructas rationes ad ſenſuum portas demittere, quę obuiam prodeant,inſidiáſque antè ſtruãt, hoſtéſque prohibeant: non autem aditu ipſis primùm conceſſo,dubiam poſtea pugnam ſuſcipere, quæ perſæpe in alteram partem propendebit,hoſtibúſque trophęũ porriget: Ob eam enim cauſam ſalutaris quoque ſermo eum qui impudico oculo aliquem perſpiciat, ſupplicio affecturum ſe comminatus eſt,cùm alij Legũ latores facinus duntaxat puniant: ne difficile ac nimis arduum bellum ſit, verùm facilè ac procliue.

Ζωσίμῳ πρεσβυτέρῳ. ρη.

Πολλοὶ μᾶλλον δὲ πάντες, ὡς ἔπος εἰπεῖν, ἄνθρωποι, καὶ πλεονεκτήματα

Zoſimo Presbytero. 108

Permulti,imò, vt ſic loquar, omnes homines, & virtutes,& vitia habent: atque